Αρ. εισ. 1468

# ΚΡΙΤΙΚΑΙ

# ΠΑΡΑΤΗΡΗΣΕΙΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΙΩΑΝΝΙΝΩΝ
ΚΕΝΤΡΟΝ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ

ΕΠΙ ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ 12 ΒΙΒΛΙΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΜΕΛΕΤΣΙΟΣ

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ,

Αὐτοκράτορος Ῥώμης,

ΥΠΟ

ΠΑΝΑΓ. ΣΚΑΦΙΔΙΩΤΟΥ.

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΗΣ ΑΥΓΗΣ
(29—Ὁδὸς Πραξιτέλους—29)

1881.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΠΡΟΟΙΜΙΟΝ

Περὶ τὴν διατριβὴν ταύτην ἔτριψα ὀλίγας ἡμέρας. Τούτου δὲ οὕτως ἔχοντος οὐκ ἀξιῶ τι πεποιηκέναι, μέγιστον δὲ ἆθλον φανήσεταί μοι, εἰ καὶ ἐγώ τι δόξω τοῖς ἐπιγιγνομένοις καὶ μάλιστα τοῖς τε τὰ μέσα εὐπορώτερα καὶ τὸν χρόνον πλείω ἔχουσι βοηθεῖν.

ΠΗΓΑΙ

**ἐκδ. Wolle ἐν Λειψίᾳ 1729**
**» Schultz ἐν Σλεσουτσκῳ 1802**
**ἐκδ. Κοραῆ ἐν Παρισίοις 1816**
**» Schultz ἐν Λειψίᾳ 1870**
**» Duebner ἐν Παρισίοις 1877**

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

---

**1, 3 Ἐφεκτικόν·** ἡ ἔννοια ἀπαιτεῖ ἀφεκτικόν.

**1, 9. Καὶ τὸ εὔφημον καὶ τοῦτο ἀψοφητί·** προτιμητέα ἡ γραφὴ «καὶ τὸ εὔφημον ἀψοφητί» ἄνευ τοῦ καὶ τοῦτο, ἵνα συμφωνῇ τῷ ἀμέσως κατωτέρω «καὶ τὸ πολυμαθὲς ἀνεπιφάντως».

**1, 15. Καὶ κατὰ μηδὲν περίφορον εἶναι.** Ἡ λέξις περίφορος οὐκ ἔστιν ἑλληνική· ἀντ' αὐτῆς γραπτέον ἀπαράφορον» δηλ. κρατεῖν ἑαυτοῦ καὶ κατὰ μηδὲν παραφέρεσθαι· ἴδ. Πλατ. Σοφ. 228 C. D. καὶ βιβλίον 12, 14. Ὁ Κοραῆς γράφει εὐπαράφορον.

**1, 15. Προσεσηρός·** γραπτέον προσσεσηρός, καθὰ παρὰ Πολυδεύκει 6, 123. κύων προσσεσηρὼς καὶ Πλουτ. ἠθ. 13, 223 καὶ ἀλλαχοῦ· διὰ τοῦ διπλοῦ σ γράφει καὶ Gataker.

**1, 16. Ἀπονεμετικόν·** ἀπονεμητικὸν δεῖ γραφῆναι διὰ τοῦ η, ἴδ. Πολυβ· 6, 6,10 διανεμητικός.

**1, 16. Ἀλλ' οὐ τὸ προαπέστη τῆς ἐρεύνης·** γραπτέον, καθὰ Κοραῆς, «καὶ ὅτι οὐ προαπέστη τῆς ἐρεύνης»

Ε.Υ.Δ της Σ.Τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ινα αἰτιολογήσῃ τὰ ἀνωτέρω «ζητητικὸν καὶ ἐπίμονον» δηλ. ἀπόδειξις τοῦ ὅτι αὐτὸς συνεζήτει καὶ ἐπέμενεν ἐστίν, ὅτι οὐκ ἀπέστη πρὸ τῆς ἐρεύνης.

**1, 16. Ἐπ' αὐτοῦ σταλῆναι,** κάλλιον τὸ «ὑπ' αὐτοῦ στέλλεσθαι», ἵνα ᾖ τὸ ποιητικὸν αἴτιον=αὐτὸς συνέστελλεν (ἀνεχαίτιζε πᾶσαν κολακείαν) καὶ ὁ ἐνεστὼς σημαίνῃ τὸ κατ' ἐπανάληψιν γιγνόμενον, ἤγουν ὁσάκις ἐπαρουσιάζοντο αὐτῷ κολακεῖαι αὐτὸς συνέστελλεν αὐτάς. Ὁ Κοραῆς γράφει «ὑπ' αὐτοῦ σταλῆναι.

**1, 16. Νεαρὸν εὐθύς·** προτιμητέον, καθὰ Κοραῆς, «νεαρὸν αὖθις», ἵνα δηλωθῇ, ὅτι ἔλαβε πάλιν ὅ,τι πρότερον εἶχε καὶ ἀπώλεσεν.

**1, 16. Οὐκ ἐν ἀωρεί·** Πρῶτον ἡ ἐν πρόθεσις πλεονάζει, ἐπεὶ τὰ τρόπου ἐπιρρήματα οὐκ ἔχει χρείαν τῆς ἐν· δεύτερον τὸ ἀωρεὶ γραπτέον διὰ τοῦ ι «ἀωρὶ» καθὰ Ἀντιφῶν 115,18 καὶ 119· τὴν διὰ τοῦ ι γραφὴν παραδέχεται καὶ ὁ Κοραῆς.

**1,16. Καὶ πᾶς ὁ τοιοῦτος τρόπος·** γραπτέον, καθὰ καὶ ὁ Κοραῆς, εἴτε «πᾶς τοιοῦτος ὁ τρόπος» εἴτε «πᾶς ὁ τρόπος τοιοῦτος» διότι ἐνταῦθα τὸ τοιοῦτος ἐπέχει τὸν τόπον τοῦ κατηγορήματος, δηλ. πᾶς ὁ τρόπος ἐστὶ τοιοῦτος. Ἀλλ' εἰ εἴποιμεν «πᾶς ὁ τοιοῦτος τρόπος ἐστὶν» ὁ λόγος μένει ἀτελής, ἐπειδὴ οὐχ ὁρίζεται ποῖός ἐστιν ὁ τρόπος.

**1,16. Καὶ ἔτι καρτερεῖν...** ἐπειδὴ τὸ ἁπλοῦν καρτερῶ ἀπαιτεῖ ἢ γενικὴν ἢ ἀπαρέμφατον ἢ μετοχὴν κατηγορηματικήν, ὧν οὐδὲν ἔστιν ἐνταῦθα, τὸ δὲ σύνθετον μετὰ τῆς ἐν προθέσεως συντάσσεται δοτικῇ ἐπὶ τῆς σημασίας, ἢ ὧδε ἁρμόζει (ἐγκρατεύομαι ὑποφέρω) καὶ ἐπειδὴ τὸ σύνθετον ἐννήφω οὐδαμοῦ εὑρίσκεται, ἀπαντᾷ δὲ συχνὰ τὸ ἁπλοῦν νήφω (Πλατ. Νομ. 1,640. «Οὐκοῦν νήφοντά τε καὶ σοφὸν ἄρχοντα μεθυόντων δεῖ καθιστάναι. Ξεν. συμπ. 8, 21. οὐδὲ γὰρ ὁ παῖς ... ἀλλὰ νήφων μεθύοντα ὑπὸ τῆς Ἀφροδίτης θεᾶται) ἄνευ ἀντικειμένου, διὰ ταῦτα ἀνάγκη τὴν ἐν ἀπὸ τοῦ ἐννήφειν ἐν τῷ καρτερεῖν τεθῆναι (καὶ ἐγκαρτερεῖν καὶ νήφειν ἑκατέρῳ) καὶ τὸ ἑκατέρῳ ἀντικείμενον τοῦ ἐγκαρτερεῖν εἶναι·

**1, 16. ὧν πολλοί...** γραπτέον μετὰ τοῦ ἄρθρου «ὧν οἱ πολλοὶ» διότι, ὅταν τις εἴπῃ πολλοί, σημαίνει 5, ἢ 10, ἢ 20 ἢ 100 καὶ ἐν γένει ὀλιγώτερον τοῦ ἡμίσεος ἑνὸς ἀρι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ ΙΩΑΝΝΙΝΑ 2006

θμοῦ προσώπων ἢ πραγμάτων... εἰ δέ τις εἴποι οἱ πολλοὶ δηλοῖ πλέον τοὐλάχιστον τοῦ ἡμίσεος ἑνὸς ἀριθμοῦ ἀνθρώπων ἢ ζώων... Φέρε ἀποδείξωμεν ἐν Θουκ. 1, 126 «ἔστι γὰρ καὶ Ἀθηναίοις Διάσια, ἃ καλεῖται Διὸς ἑορτὴ Μειλιχίου μεγίστη ἔξω τῆς πόλεως, ἐν ᾗ πανδημεὶ θύουσι, πολλοὶ οὐχ ἱερεῖα ἀλλὰ θύματα ἐπιχώρια» καὶ ὀλίγον κατωτέρω μετὰ τοῦ ἄρθρου «χρόνου δὲ ἐπιγιγνομένου οἱ Ἀθηναῖοι τρυχόμενοι ἀπῆλθον οἱ πολλοί. Πλατ. νομ. 5,742. οὔεγε δὴ οἱ πολλοὶ πλουσίους καταλέγουσι. Δημ. «εἷς τῶν πολλῶν» καὶ Θουκ. αὖθις 2, 99. «ἀνέστησαν δὲ καὶ ἐκ τῆς νῦν Ἑορδίας καλουμένης Ἑορδούς, ὧν οἱ μὲν πολλοὶ ἐφθάρησαν βραχὺ δέ τι αὐτῶν περὶ Φύσκαν κατῴκηται» ὅπου διὰ τῆς ἀντιθέσεως τοῦ, «οἱ πολλοὶ ... βραχὺ δέ τι ...» καταφαίνεται περιφανῶς ὅτι ἡ σημασία τοῦ πολλοὶ ἔστιν ἐκείνη, ἣν ἡμεῖς ἀνωτέρω ὡρίσαμεν. Ἴδωμεν νῦν, εἰ ἡ σημασία αὕτη ἁρμόζει καὶ ἐπὶ τοῦ προκειμένου χωρίου, ὧν (οἱ) πολλοὶ πρὸς τὰς ἀποχὰς ἀσθενῶς καὶ πρὸς τὰς ἀπολαύσεις ἐνδοτικῶς ἔχουσι» καὶ ἵνα κατανοήσωμεν τοῦτο, ἐρώμεθα οὕτως. οἱ περισσότεροι τῶν ἀνθρώπων ἐνδιδόασι πρὸς τὰς ἡδονὰς ἢ οἱ ὀλιγώτεροι; εἰ ἐροίμεθα, λέγω οὕτως, ἡ ἀπάντησις ἔσται τῷ ὄντι ὅτι πολλὰ ὀλίγοι εἰσίν, οἳ οὐκ ἐνδιδόασι πρὸς τὰς ἡδονάς· ἐπειδὴ λοιπὸν ἀπεδείχθη, ὅτι ἡ σημασία τοῦ οἱ πολλοὶ ἁρμόζει ἐνταῦθα, τὸ χωρίον γραφήτω, «ὧν οἱ πολλοὶ πρός τε τὰς ἀποχὰς ἀσθενῶς, καὶ πρὸς τὰς ἀπολαύσεις ἐνδοτικῶς ἔχουσιν.

**1,17 Ἅπαντας ἔχειν ...** Γραπτέον ἀντὶ τοῦ ἅπαντας «ἅπαντα» ἐπεὶ ἔξωθεν ἐννοεῖται ἡ λέξις ἀγαθά, εἰς ἣν ἀναφέρεται τὰ προηγούμενα ὡς κατ' ἐπεξήγησιν διορισμοί, δηλ. παρὰ τῶν θεῶν ἅπαντα σχεδὸν (τὰ ἀγαθά), ἤγουν ἀγαθοὺς γονεῖς, ἀγαθοὺς πάππους.

**2,11. Καὶ τοῦτο ἂν προεῖδοντο ....** Ἐν τῇ ὁριστικῇ ὁ ἀόρ. Α'. καὶ Β'. γράφονται διὰ τοῦ ει καὶ ἐν ταῖς ἄλλαις ἐγκλίσεσι διὰ τοῦ ι, ἡ δὲ διὰ τοῦ ι γραφὴ εὕρηται καὶ ἐν τῇ ὁριστικῇ παρὰ τοῖς μεταγενεστέροις, σημειωτέον ὅμως, ὅτι ἀπαντᾷ ἐνίοτε ἡ μετοχὴ ειδόμενος διὰ τοῦ ει, Θουκ. 4,64. Δημ. 413. μὴ προειδόμενος τὴν ἐξ ἐκείνης τῆς ὄψεως ὑποψίαν, **Bekker** ἐξέδωκε προϊδόμενος καθὰ καὶ **Ranke** Αἰσχ. Τιμ. 165 οὐδὲν προϊδόμενος.

**2.11. Οὔτε δὲ κατ' ἄγνοιαν οὔτε εἰδυῖα μέν ...**

Ε.Υ.Δ της Κ.ΕΙ ΙΩΑΝΝΙΝΑ 2006

Ὡραία, δοκεῖ μοι, ἡ διὰ τῆς μεταβάσεως ἀπὸ ὀνόματος εἰς μετοχὴν προερχομένη ποικιλία, ὡραιοτέρα δ' ἦν ἄν, εἰ ἀντὶ τῆς κατὰ ἐχρῆτο τῇ διὰ προθέσει, καθὰ καὶ Ἰσοκράτης φησὶν ἐν τῷ πρὸς Φίλιππον λόγῳ αὐτοῦ περὶ τὰς ἀρχάς, «οὐδὲ δι' ἄγνοιαν οὐδὲ διαψευσθεὶς ὑπὸ τῆς ἀρρωστίας τῆς νῦν μοι παρούσης» καὶ Μ. Ἀντ. 2,13 «δι' ἄγνοιαν ἀγαθῶν καὶ κακῶν» 7,22. καὶ 1,14. καὶ ἀλλαχοῦ· σημειωτέον δὲ ὅτι ἀντὶ τῆς διὰ χρῆται τῇ παρά, ὡς ὀλίγον κατωτέρω δὶς καὶ βιβλ. 2,1. «παρὰ τὴν ἄγνοιαν τῶν ἀγαθῶν καὶ τῶν κακῶν καὶ ἀλλαχοῦ καὶ ἐν 8,47. οὐ γὰρ παρὰ σὲ ἡ αἰτία τοῦ μὴ ἐνεργεῖσθαι, διότι αἱ μετοχαὶ εἰδικαὶ μὲν μὴ δυναμένη δὲ αἰτιολογικαὶ εἰσὶν καὶ κατ' ἀκολουθίαν τὸ ἄγνοιαν δεῖ τὴν διὰ καὶ οὐχὶ τὴν κατὰ ἔχειν, ἐπειδὴ μετ' αὐτῶν συνδέεται καὶ αἰτίαν ὡσαύτως δηλοῖ.

**4, 5. Σύγκρισις ἐκ τῶν αὐτῶν στοιχείων....** Ἐλλείπει ἐνταῦθα λέξις τις, ἣν ἀναπληρωθῆναι δεῖ διὰ τῆς λέξεως διάκρισις, ἵνα σημαίνῃ τὸ ἐναντίον τοῦ προηγουμένου σύγκρισις, διότι οὐδὲν ἄλλο βούλεται εἰπεῖν, ἢ ὅτι ἐστὶν ἕνωσις ἐκ τῶν αὐτῶν στοιχείων καὶ πάλιν διάλυσις εἰς ταὐτά.

**4,12. Τὴν μέντοι μεταγωγὴν....** τὸ χωρίον λίαν σκοτεινόν· διορθωτέον, «τὴν μέντοι μεταγωγὴν ἀεὶ ἀπό τινος πιθανότητος, ὡς δίκαιον καὶ κοινωφελές, γίγνεσθαι δεῖ οὐχ ὅτι ἡδὺ ἢ ἔνδοξον ἐφάνη.

**4,20. Τόγε δὴ ὄντως τινὸς χρείαν ἔχει**; τὸ ἐρωτηματικὸν οὐκ ἔστιν ἀναγκαῖον, διότι ἡ πρότασις αὕτη ἐπαναλαμβάνει, ὅ,τι ἡ πρότερον (τοῦτο φημί ....) εἶπε, ζωηρότερον, σαφέστερον, καὶ καθὰ ἡ πρώτη οὐκ ἔχει ἐρωτηματικόν, οὕτω καὶ αὕτη οὐκ ἔχει χρείαν ἐρωτηματικοῦ σημείου, δέον δὲ καὶ τὸ οὐ πρὸ τοῦ τινὸς τεθῆναι, ἐπειδὴ ἡ ἔννοια ἄνω ἀρνητικὴ ἐστὶν (οὐκ ἔχον μέρος ἑαυτοῦ τὸν ἔπαινον) καὶ αὐτὴ ἐπαναλαμβάνεται καὶ ἐνταῦθα· τὸ ὅλον οὖν χωρίον δεῖ οὕτως γραφῆναι «τόγε δὴ ὄντως καλὸν οὔ τινος χρείαν ἔχει».

**4,21. Ὥσπερ γὰρ ἐνθάδε ἡ τούτων πρὸς ἥντινα ἐπιδιαμονὴν μεταβολή.** Διορθωτέον «μετά τινα ἐπιδιαμονὴν» ἵνα ὁμαλυνθῇ ἡ ἔννοια καὶ διότι οὐχ ὑπάρχει ῥῆμα, πρὸς ὃ τὸ ἀναφορικὸν (ἥντινα) ἀναφέρεται· Κοραῆς γέγραφε «ἡ τούτων μετὰ ποσήν τινα διαμονὴν μεταβολή.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

**4,24 Μήτι τοῦτο οὐ τῶν ἀναγκαίων . .** Ἐγένετο μετάθεσις, ὃ ἡ εὐφωνία οὐ συγχωρεῖ· Ὅθεν γραπτέον, καθὰ καὶ Κοραῆς, τῶν οὐκ ἀναγκαίων· ἰδὲ καὶ κατωτέρω «τὰς μὴ ἀναγκαίας περιαιρεῖν.»

**4,33. Καὶ διάθεσις ἀσπαζομένη πᾶν τὸ συμβαῖνον ὡς ἀναγκαῖον ὡς γνώριμον ὡς ἀπ' ἀρχῆς τοιαύτης καὶ πηγῆς ῥέον·** ἀντὶ τοῦ τοιαύτης δέον τεθῆναι κατὰ Κοραῆν, τῆς αὐτῆς, δηλαδὴ «ὡς ἀπ' ἀρχῆς τῆς αὐτῆς ῥέον», διότι περὶ τούτου ἤδη πρόκειται, ὅτι πᾶν τὸ συμβαῖνον (τὸ καλὸν καὶ τὸ κακὸν) ἀναγκαῖόν ἐστι καὶ ἔχει μίαν καὶ τὴν αὐτὴν ἀρχὴν, καὶ κατ' ἀκολουθίαν, καθά τις δέχεται μετ' εὐχαριστήσεως τὸ καλὸν, οὕτω δεῖ καὶ τὸ κακὸν ἀγαπᾶν καὶ ἀποδέχεσθαι: ἐπεὶ ἀμφότερά ἐστιν ἀναγκαῖα καὶ μίαν καὶ τὴν αὐτὴν ἀρχὴν ἔχει (εἷς καὶ μόνος ἐστὶν ὁ παρέχων αὐτά)· διὰ τοῦ τῆς αὐτῆς ἀρχῆς δηλοῦται, ὅτι ὁ παραδεχόμενος τὸ ἀγαθὸν ὑπόχρεός ἐστιν τρόπον τινὰ, καὶ τὸ κακὸν λαβεῖν, εἰ δὲ μὴ παραδέχεται τὸ κακὸν, δεῖ αὐτὸν καὶ τὸ καλὸν ἀπορρῖψαι. Ἐν γένει πάντα χρὴ γιγνώσκειν, ὅτι τῷ καλῷ ἀκολουθεῖ τὸ κακὸν καὶ τοὔμπαλιν· διότι, ὡς καὶ Πλάτ. ἐν Φαίδ. φησὶν, ἐκ μιᾶς κορυφῆς συνημμένα ἐστὶ δύ' ὄντε.

**5,3. Παρειπάτω . .** Κοραῆς γράφει «περισπάτω» ἀντὶ παρειπάτω, οὐ λέγων καὶ τὸν λόγον· καὶ ἡμεῖς προτιμῶμεν τὸ περισπάτω, ἐπὶ τῆς σημασίας ὅμως, ἐφ' ἣ τάττουσιν αὐτὸ οἱ ἀρχαῖοι, δηλ. τοῦ ἀφαιρῶ (Ξεν. Κυρ. 3,38. ὡς ἤκουσε ταῦτα περιεσπάσατο τὴν τιάραν) καὶ μεταγενέστεροι χρῶνται αὐτῷ (Πλουτ. Κικ. 45) ἐπειρᾶτο τιμαῖς καὶ δωρεαῖς ἀποκαλεῖν αὐτοῦ τὰ στρατεύματα καὶ περισπᾶν (=ἀφαιρεῖν) αὐτοῦ τὴν δύναμιν. Βουλόμεθα μᾶλλον, λέγω, τὸ περισπάτω, ἐπεὶ ἑρμηνεύει τὴν ἔννοιαν φυσικώτερον. Ἐννοεῖται δὲ φυσικῶς πᾶς ἄνθρωπος παντὸς ἔργου ἢ λόγου συλλαμβάνει κατ' ἀρχὰς ἰδέαν τινὰ καὶ καθ' ἑαυτὸν ἢ μετ' ἄλλων κατὰ τὸ δοκοῦν σκέπτεται καὶ κατόπιν γνωμοδοτεῖ. Ὡς τοιοῦτον οὖν θεωρῶν τὸν δεύτερον, πρὸς ὃν ὁμιλεῖ ὁ Μάρκος Ἀντωνῖνος, λέγει αὐτῷ, τὴν ἰδέαν, ἣν ἐν τῇ κεφαλῇ σου ἔχεις, μὴ ἀφαιρείτω ἡ ἐπακολουθοῦσά τινων μέμψις· ὅπερ οὐ δηλοῦται διὰ τοῦ παρειπάτω, διότι διὰ τοῦ παρειπάτω σημαίνεται τὸ μεταπείθειν, ὅπερ προϋποτίθησιν, ὅτι ὁ ἄνθρω-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΟΝΙΚΟΥ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΑΝΤΙΚΑΤΑΣΤΑΣΕΩΣ
Ε.Υ.Δ της Κ.Σ.Π ΙΩΑΝΝΙΝΑ 2006

πος ἔχει ἐσχηματισμένην τὴν γνώμην αὐτοῦ. Ἐν ἄλλοις, ὅταν τις συλλαμβάνῃ ἰδέαν τινὰ λόγου ἢ ἔργου καὶ διὰ τοῦ νοῦ καθορᾷ, ὅτι αὕτη καλή ἐστι, δεῖ εἰς πέρας ἄγειν, ἀλλὰ μὴ ἐμποδίζεσθαι ἀναλογιζόμενον, ὅτι, καί περ τοῦ ἔργου ἢ τοῦ λόγου καλοῦ ὄντος, τινὲς μέμψονται. Πᾶσα πολιτεία, ὅσον ἐξηυγενισμένη καὶ ἂν ᾖ, ἔχει τινὰς, οἳ παντὸς ἔργου καὶ λόγου κατηγοροῦσιν· ἐὰν οὖν οἱ δυνάμενοι λέγειν καὶ πράττειν τὸ καλὸν ἀποβλέπωσι πρὸς τὰς τῶν τοιούτων ἀνθρώπων μομφὰς, ὢ! οὐδὲν γίγνεται. Ἀλλὰ εἴποι τις ἂν, ὡς ἡ σύνταξις τοῦ ἀφαιρῶ (περισπῶ) οὐ βαίνει κατὰ τοὺς κανόνας· ἀνάγκη οὖν καί τινα περὶ τῆς συντάξεως εἰπεῖν, καί περ γνωστὰ ὄντα· γνωστοῦ ὄντος, ὅτι τὸ ἀφαιρῶ συντάσσεται γεν. καὶ αἰτ. ἢ (σπαν.) δοτ. καὶ αἰτ. ἢ δυσὶν αἰτ. (ἡ γενικὴ ἔχει ἔστιν ὅτε τὴν ἐκ ἀπὸ) λέγομεν ὅτι πολλάκις τὸ ἓν παραλείπεται, ὡς εὐκόλως ἐννοούμενον, ὡς παρὰ Πλάτ. 1,606. «Τὴν Ἑλλάδα πεπαίδευκεν οὗτος ὁ ποιητὴς, τὴν ποίησιν. δῆλ. . . . . καὶ τὸ ἀνωτέρω παράδειγμα τοῦ Ξενοφ. ὡς ἤκουσε ταῦτα περιεσπάσατο τὴν τιάραν, ἀπ' αὐτοῦ δηλονότι. Ἐνταῦθα μᾶλλον «περισπάτω σὲ = σοῦ, ἐκ σοῦ. τὰς ἰδέας ἐννοητέον· ἰδ. καὶ 6,22. «τὰ ἄλλα μὲ οὐ περισπᾷ = οὐκ ἀφαιρεῖ μου τὸ καθῆκον καὶ Ἐπίκτητον περὶ συμπεριφορᾶς, «εἰ μὲν τοῦτο κρεῖσσον . . μηδέ σε περισπάτωσαν οἱ ἕτεροι διαλογισμοί.

5,22. **Εἰ δὲ ἡ πόλις βλάπτεται οὐκ ὀργιστέον τῷ βλάπτοντι τὴν πόλιν· τί τὸ παρορώμενον.** Ἐνταῦθα ἐξέπεσον λέξεις ἐκ τοῦ κειμένου, ἃς δεῖ ἀναπληρωθῆναι, εἰ δ' ἄλλως ὁ λόγος μένει ἀτελής. Ἀλλ' ἐὰν παρατηρήσῃ τις τὰ ἑξῆς, ἃ ἐν τῷ 10 καὶ 11 βιβλίῳ τοῦ αὐτοῦ συγγραφέως ἀπαντᾷ, βιβλίον 10,4. «εἰ μὲν σφάλλεται διδάσκων εὐμενῶς καὶ τὸ παρορώμενον δεικνύναι· βιβλ. 11, 13. ἀλλ' ἐγὼ εὐμενὴς καὶ εὔνους παντὶ καὶ τούτῳ αὐτῷ ἕτοιμος τὸ παρορώμενον δεῖξαι, ἂν παρατηρήσῃ, λέγω, αὐτὰ ῥᾳδίως κατανοεῖ τί τὸ ἐλλεῖπόν ἐστιν, ἔστι δὲ τοῦτο διδακτέον ἢ δεικτέον ἢ ἄλλο τι τοιοῦτον, καὶ ἡ ἄνω στιγμὴ ὡς καὶ τὸ ἐρωτηματικὸν ἐξοβελιστέα καὶ ἀναπληρωτέα διὰ τῆς τελείας στιγμῆς καὶ τοῦ κόμματος: οὕτως, «εἰ δὲ ἡ πόλις βλάπτεται οὐκ ὀργιστέον τῷ βλάπτοντι τὴν πόλιν, ἀλλὰ τί τὸ παρορώμενον δεικτέον.»

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

6, 17 «**Φοραὶ στοιχείων**» Reiske καὶ ὁ Κοραῆς γράφουσι μετὰ τοῦ ἄρθρου «φοραὶ τῶν στοιχείων» καὶ δικαίως· διότι ἐπὶ γνωστῶν καὶ ὡρισμένων οὐ παραλείπεται τὸ ἄρθρον, αἱ φοραὶ δὲ γνωσταὶ καὶ ὡρισμέναι εἰσὶ καὶ οὐδένα ὧδε δέχονται ἐπιμερισμὸν, οὐ δυνάμεθα δηλονότι εἰπεῖν, ὅτι ἐνταῦθα ἐννοοῦνται ἔνιαι μόνον τῶν φορῶν τῶν στοιχείων, ἐπεὶ ἀνωτέρω φησὶν «ἄνω, κάτω, κύκλῳ», δηλονότι λέγει ὅλα τὰ μέρη, ὅπου τὰ στοιχεῖα ὑπάρχει καὶ αἱ φοραὶ αὐτῶν γίγνονται. ἔπειτα καὶ ἡ ἀντίθεσις καὶ ἡ εὐφωνία αὐτὸ ἀπαιτοῦσιν «αἱ μὲν φοραὶ τῶν στοιχείων, ἡ δὲ τῆς ἀρετῆς κίνησις».

6, 22. «**Ἐγὼ ἐμαυτοῦ καθῆκον ποιῶ**» ἀναγκαῖον τὸ ἄρθρον πρὸ τοῦ ἐμαυτοῦ, διότι τὸ ὡρισμένον δηλοῖ = τὸ ἐμὸν καθῆκον.

6, 24. **Ἐλήφθησαν εἰς τοὺς αὐτοὺς τοῦ κόσμου σπερματικοὺς λόγους**· ἀναγκαία ἡ ἀνὰ, ἵνα ᾖ ἀνελήφθησαν, καθὰ καὶ οἱ ἀρχαῖοι ἀττικοὶ χρῶνται τῷ ῥήματι αὐτῷ ἐπὶ κινήσεως πρὸς τὰ ἄνω: Ξεν. «ἀναλαβὼν αὐτὸν ἐπὶ τὴν ἁρμάμαξαν» Ξεν. «τοὺς ἄνδρας ἀναλαβόντες ἴτε». Δημ. «ἐποιήσατο αὐτὸν παῖδα καὶ ἀνέλαβεν ὡς αὐτὸν (δηλ. ἄνω εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἡ ἁγία Γραφὴ τὸ Εὐαγγέλιον, ἀνελήφθη εἰς τοὺς οὐρανοὺς, λέγει. Ἀλλὰ καὶ αὐτὸς ὁ Μάρκος Ἀντ. χρῆται τῇ ἀνὰ, βιβλίον 4, 21 «οὕτως αἱ εἰς τὸν ἀέρα μεθιστάμεναι ψυχαὶ, ἐπὶ ποσὸν συμμείνασαι, μεταβάλλουσι, καὶ χέονται καὶ ἐξάπτονται εἰς τὸν τῶν ὅλων σπερματικὸν λόγον ἀναλαμβανόμεναι» καὶ ἐν βιβλίῳ 10, 7 «ὥστε καὶ ταῦτα ἀναληφθῆναι εἰς τὸν τοῦ ὅλου λόγον».

7, 2. **Πάθε**. Κοραῆς γράφει μάθε, καλῶς, διότι οὕτως ἀπαιτεῖ ἡ ἔννοια.

7, 19. «**Οὐ φοβεῖ αὐτὸ εἰς ἀθυμίαν**. Τῇ ἀληθείᾳ διὰ τῶν λέξεων αὐτῶν ἡ ἔννοια οὐκ εὐοδοῦται, καὶ τούτου ἕνεκα πολλαχῶς διορθοῦσι τὸ χωρίον. Κοραῆς «οὐ φοβεῖ ἑαυτὸ οὐκ ἄγει εἰς ἀθυμίαν· ὡς ἐγᾦμαι, ἐπεὶ κατωτέρω λέγει «λυπῆσαι» οὕτως ἂν κάλλιστα γραφείη «οὐ φέρει ἑαυτὸ εἰς λύπην».

7, 16. **Οὐ γὰρ ἕξεις**· ἡ ἔννοια ἀπαιτεῖ «οὐ γὰρ ἕλξει αὐτὸ» γραφῆναι. Κοραῆς γράφει, «εἰ μὴ παράξει ἑαυτὸ εἰς κρίσιν τοιαύτην».

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΓ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Π.Π ΙΩΑΝΝΙΝΑ 2006

**7, 24. Τὸ ἐπίκοτον τοῦ προσώπου. ὅταν πολλάκις ἐναποθνήσκειν ἢ πρόσχημα, ἢ τὸ τελευταῖον ἀπεσβέσθη.** Πεπλεγμένον τὸ χωρίον· γραπτέον, τὸ ἐπίκοτον . . . . ὅταν πολλάκις ἐνῇ, ἀποθνήσκει τὸ πρόσχημα καὶ τὸ τελευταῖον ἀπεσβέσθη, ὥστε . . . » ὁ Κοραῆς γράφει «παρὰ φύσιν, ὅταν δὲ πολλάκις γίγνηται, ἐναποθνήσκει τὸ πρόσχημα, καὶ τὸ τελευταῖον ἀπεσβέσθη.»

**7, 33. Κατὰ ἀπόληψιν·** γραφήτω, καθὰ καὶ Κοραῆς «καθ' ὑπόληψιν» χάριν τῆς ἐννοίας.

**7, 55. Ἐκεῖ βλέπε κατ' εὐθύ.** Καθὰ καὶ Ξεν. Ἱπ. «εἰς τὸ εὐθὺ βλέπειν» 7, 14. Ἀλλ' ἐν βιβλίῳ 5, 3. καὶ 10, 11 ἐκφράζεται ἄλλως, ὡς καὶ ἐν τῷ τέλει τῆς αὐτῆς παραγράφου «εὐθεῖαν πέραινε» καὶ τούτου ἕνεκα θέλουσιν αὐτὸ διορθωθῆναι, οὐκ ἐξὸν, καθὰ τὸ τοῦ Ξενοφῶντος παράδειγμα μαρτυρεῖ.

**7, 64. Καθὸ ὑλική** . . . Κοραῆς καὶ ἄλλοι γράφουσι «λογική» εἰκότως· διότι ἡ διάνοια λογικὴ καὶ οὐχὶ ὑλική ἐστιν.

**7, 65. Οἷον οἱ ἄνθρωποι πρὸς τοὺς ἀνθρώπους·** γραπτέον, καθὰ καὶ Κοραῆς παρεδέξατο, ἀπάνθρωποι ἀντὶ τοῦ «ἄνθρωποι», ἵνα ἔχωμεν τὸν τοῦ χωρίου νοῦν· οὐ δεῖ τὸν λογικὸν, καλὸν ἄνθρωπον οὕτω φέρεσθαι πρὸς ἀπανθρώπους, ὡς αὐτοὶ οἱ (σκληροὶ κακοὶ . . .) φέρονται πρὸς αὐτόν.

**7, 72. Κρίνει·** γραπτέον, καθὰ καὶ Κοραῆς, κρινεῖ, διότι τὸ, ἂν εὑρίσκῃ, ἀναφέρεται εἰς τὸ κατὰ παράτασιν μέλλον, ὅπερ δηλοῖ καὶ τὸ κρινεῖ.

**8, 1. Ἀρκέσθητι δέ; εἰ κἂν τὸ λοιπὸν τοῦ βίου ὁσονδήποτε ἡ σὴ φύσις θέλει βιώσειν·** ἀκατανόητον ὡς ἔχει τὸ χωρίον· διορθωτέον οὖν, καθὰ καὶ Κοραῆς, οἱονδήποτε . . . θέλει βιώσῃ, ἵνα εὐοδωθῇ ἡ ἔννοια καὶ ὁ εἰ ἔχῃ ῥῆμα, εἰς ὃ ἀναφέρεται.

**8, 3 Καὶ τὰ ἡγεμονικὰ ἦν αὐτῶν τὰ αὐτά.** Κοραῆς καὶ ἄλλοι γράφουσιν ἀντὶ τοῦ «τὰ αὐτὰ» τοιαῦτα ὀρθῶς· διότι τὰ ἡγεμονικὰ αὐτῶν ἦν οὐχὶ τὰ αὐτὰ, ὅπερ ἀδύνατον, ἀλλὰ τοιαῦτα.

**8, 7. Ἀντὶ πεποιημένη·** κατὰ παρακείμενον γραφήτω κατὰ Κοραῆν ποιουμένη κατ' ἐνεστῶτα, ἵνα συμφωνήσῃ ταῖς προηγουμέναις.

Ε.Υ.Δ της Κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

**8, 7. Εἶγε ἴσους καὶ κατ' ἀξίαν.** Ἐνταῦθα οὐ πρόκειται περὶ ὑποθέσεως ἀλλὰ ἀναφορᾶς· ὥστε γραπτέον ἢ = αὕτη δὲ : Κοραῆς γράφει : ἦγε.

**8, 7. Σκόπει δὲ, μὴ εἰ τὸ πρὸς τὸ ἓν ἴσον εὑρήσεις ἐπὶ παντός.** Τὸ χωρίον σκοτεινόν: διορθωτέον οὖν. Πρῶτον στικτέον ἐν τῷ μὴ, διότι αὐτὸ τῆς προστακτικῆς ἐστί, ἔπειτα προσθετέον τὴν λέξιν ἓν, οὕτως : «Σκόπει δὲ μὴ, εἰ τὸ ἓν πρὸς τὸ ἓν ἴσον εὑρήσεις ἐπὶ παντὸς, ἀλλά . . . Κοραῆς γράφει, «εἰ ἓν πρὸς ἓν ἴσον» . . .

**8,17. Εἰ μὲν γὰρ δύνασαι, διόρθωσον· εἰ δὲ τοῦτο μὴ δύνασαι, τόγε πρᾶγμα αὐτό· εἰ δὲ μὴ δὲ τοῦτο, πρὸς τί ἔτι σοι φέρει τὸ μέμψασθαι..** Ἀτάκτως ἐρριμμένα καὶ πλεονάζοντα, διορθωτέα οὖν. «Εἰ μὲν γὰρ δύνασαι, διόρθωσον τὸ πρᾶγμα αὐτό· εἰ δὲ μὴ, πρὸς τί ἔτι συμφέρει τὸ μέμψασθαι ; » ἵνα ἔχωμεν ἔννοιαν σαφῆ.

**8,23. Καὶ τὴν πάντων πηγὴν, ἀφ' ἧς πάντα τὰ γενόμενα συμμηρύεται.** Ὁ Κοραῆς προτείνει ἀντὶ τοῦ ἀφ' ἧς τὸ ὑφ' ἧς γραφῆναι, ἐπεὶ, ὡς φαίνεται, τὸ συμμηρύομαι παθητικόν ἐστιν, ἀλλὰ δύναται καὶ, ὡς ἔχει, μεῖναι, διότι καὶ ἡ ἀπὸ αἴτιον δηλοῖ. Ὠριγένης 3. σ. 624 «ἀπὸ τῆς παραβολῆς δεδιδάχθαι δοκοῦμεν.» Ἐπίκτητος Κεφ. 14 ὅτι πάντα ἐφορᾷ τὸ θεῖον.» «Τύπους δὲ τοσούτους ἀφ' οὕτω πολλῶν καὶ ποικίλων πραγμάτων ἐν τῇ σεαυτοῦ ψυχῇ φυλάττεις καὶ ἀπ' αὐτῶν κινούμενος (ab illisque pulsus) εἰς ἐπινοίας ὁμοειδεῖς ἐμπίπτεις.» Τὸ δὲ συμμηρύομαι οὐκ ἔστιν Ἀττικὸν ἀντὶ, αὐτοῦ δὲ τὸ κλώθω συγκλώθω, ᾧ καὶ αὐτὸς ἀλλαχοῦ 3, 3. 4, 26. 5, 8. 7,57. ἐχρήσατο.

**8,27. Τρεῖς σχέσεις· ἡ μὲν πρὸς τὸ αἴτιον τὸ περικείμενον· ἡ δὲ πρὸς τὴν θείαν αἰτίαν . . . .** Ἡ ἔννοια οὐκ εὐοδοῦται διὰ τῆς λέξεως αἴτιον· γραπτέον οὖν Σαρκίδιον ; ὡς καὶ ἐν βιβλ. 12,14. 2,2. 7,66. 12,1. 8,56. 9,41 10,24. ἢ σωμάτιον ; καθὰ ἐν βιβλ. 1,17. 4,50. 5,5. 6,32. καὶ ὀλίγον κατωτέρω 12,3 καὶ ὀλίγον κατωτέρω 2,41. 12,26.

**8,34. Ἀντὶ μέρος·** κάλλιον ἂν γραφείη μέλος, καθὰ καὶ ἐν βιβλίῳ 7,13, ὃ καὶ Κοραῆς παρεδέξατο.

**8, 35. Ὥσπερ τὰς ἄλλας δυνάμεις ἕκαστος τῶν λογικῶν σχεδὸν ὅσον ἡ τῶν λογικῶν φύσις, οὕτως**

Ε.Υ.Δ της Ε.Π.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

**καὶ ταύτην παρ' αὐτῆς εἰλήφαμεν.** Ἄλλα ἀντὶ ἄλλων γεγραμμένα ἐστὶ καὶ ἡ ἔννοια ἐσκότισται: χάριν οὖν αὐτῆς γραπτέον κατὰ Κοραῆν, «ὥσπερ τὰς ἄλλας δυνάμεις ἕκαστος τῶν λογικῶν ἐκ τῆς τῶν ὅλων φύσεως οὕτως . . .»

8,35. **Ἐπιπεριτρέπει.** Ἡ ἐπὶ ἐστὶ περιττή, γραφήτω «περιτρέπει» καθὰ καὶ ἐν βιβλίῳ 5,20, ὅπερ Κοραῆς καὶ Schultz παρεδέξαντο.

8,36. **Μὴ συμπερινόει ἐπίπονα οἷα καὶ ὅσα πιθανὸν ἐπιγεγενῆσθαι·** καλλίων ὁ μέλλων ἀντὶ τοῦ παρακειμένου, καθὰ Gataker καὶ Κοραῆς φασί, περὶ μελλόντων γὰρ πρόκειται.

8, 38. **Εἰ δύνασαι ὀξὺ βλέπειν, βλέπε, κρίνων, φησί, σοφωτάτοις.** Τὸ χωρίον ἀσαφὲς καὶ δύσκολον. Κοραῆς ἴσ. γρ. κρίνων φύσιν σοφωτάτως. Ἡμεῖς κρίνομεν ὧδε «κρίνων (καὶ κρῖνε) ἐν τοῖς σοφωτάτοις» γραπτέον εἶναι. Τὸ ὀξὺ καὶ ἐν τοῖς σοφωτάτοις ἀντιθέτως εἰρημένα ἐστὶ καὶ ἐπὶ τοῦ καθόλου· δηλ. ἐὰν ὦ ἄνθρωπε βλέπῃς τὰ πράγματα ταχέως καὶ καλῶς, κρῖνε ὅμως αὐτὰ βραδέως (ἐσκεμμένως) καὶ σαφῶς. Ὄντως ἐπικρεμαμένου καλοῦ ἢ κακοῦ, οὐκ ὀνίνησιν ἡ ἀμέσως ὅρασις (ἀντίληψις) αὐτοῦ, εἰ μὴ ἕπεται καὶ συνακολουθεῖ ἡ βραδεῖα καὶ καλὴ κρίσις τοῦ πῶς ἄν τις μὴ βλαβῆναι ἢ ὠφεληθῆναι ἔχοι· ὅτι δὲ ἡ σύνταξις αὕτη οὐκ ἔστιν ἄγνωστος τῷ Μάρκῳ Ἀντωνίνῳ, δεικνύεται ἐκ τοῦ «11,19 ἐν τοῖς ἀτοπωτάτοις νόμιζε.»

8, 45. **Ἄρα τοῦτο ἄξιον, δι' αὐτὸ κακῶς μοι ἔχῃ ἡ ψυχὴ καὶ χεῖρον ἑαυτῆς ᾖ, ταπεινουμένη..** Τὸ χεῖρον γραπτέον χείρων· ἀνάγκη γὰρ κατηγορήματος.

8, 47 **Ἄπιθι οὖν, ἐκ τοῦ ζῆν εὐμενής, ᾗ καὶ ὁ ἐνεργῶν ἀποθνήσκει.** Ἅπαντες παραδέχονται ὅτι ὁ ᾗ δέον ᾗ γραφῆναι, ὃν ἐξηγοῦνται διὰ τοῦ ὡς. Ἡμεῖς οὐκ εὑρόντες καὶ ἕτερον χωρίον, ὅπου ἡ ἀντὶ ὡς ὑπάρχει, ἀλλ' ἀπ' ἐναντίας ὡς καὶ ὥσπερ 4, 4. 4, 21. 4, 42. 8, 15 4, 44. καὶ ἀλλαχοῦ· καὶ κρίνοντες ὅτι ὁμοιωματικὴ ἐνταῦθα ἔννοια πόρρω τῆς ἀληθείας ἐστί, γράφομεν εἰ ἀντὶ ᾗ ἢ ἦ = διότι, ἀφ' οὗ. Ὁ νοῦς, λοιπόν, καὶ ὁ ἐνεργῶν καὶ ὁ μὴ ἐνεργῶν θνήσκει, ἄπειθι ἐκ τοῦ ζῆν εὐμενὴς καὶ ἵλεως τοῖς ἐνισταμένοις ἴδε καὶ Ὁμήρου Ἰλ. χ. 82 «εἴποτέ τοι (ἀφ' οὗ) ἐπέσχον λαθικηδέα μαζὸν τῶνδε αἴδεο . . . .» καὶ ἐν τοῖς τοῦ Αἰσώπου μύθοις, «εἰ (ἀφ' οὗ) θέρους ὥραις ηὔλεις, χειμῶνος ὄρχου.»

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

8, 50. **Μήτε ὅπου ἐκβάλη τὰ σαπρότερα προσδέηται.** Ἐνταῦθα ἐλλείπει ἡ λέξις χώρα, καθὰ καὶ κατωτέρω λέγει: ἀρκεῖται οὖν καὶ χώρᾳ τῇ ἑαυτῆς, καὶ ὕλῃ . . . . .» ὥστε γραπτέον « μήτε χώρας, ὅπου τὰ σαπρότερα ἐκβάλῃ, προσδέηται. Κοραῆς καὶ Reiske γράφουσι «μήτε τόπου, ὅπου.

8, 51. **Πῶς οὖν πηγὴν ἀέννασν; φύου σεαυτὸν πάσης ὥρας εἰς ἐλευθερίαν.** Καὶ ἐνταῦθα πολλὰ ὑπὸ τῶν σχολιαστῶν διορθωτῶν λέγονται· ἔμοιγε δοκεῖ οὕτως διορθωτέον τὸ χωρίον εἶναι. «Φύλαττε σεαυτὸν πάσης ὥρας εἰς ἐλευθερίαν.

8, 57. **Τείνεται γάρ κατ' εὐθὺ καὶ ὥσπερ διαιρεῖται δὴ πρὸς τὸ στερέμνιον.** Κάλλιον ἂν γραφείη «τείνεται κατ' εὐθὺ καὶ ἐρείδεται πρὸς τὸ στερέμνιον», διότι τοῦτο βούλεται εἰπεῖν, ὅτι τὸ φῶς ἐρείδεται καὶ οὐχὶ διαιρεῖται, καθὰ καὶ ἐπαναλαμβάνει «ἐνταῦθα δὲ ἔστη, καὶ»

9, 3. **Ὡς νῦν περιμένεις, πότε ἔμβρυον.** Ἀντὶ τοῦ νῦν γραπτέον οὖν· ἀνάγκη γὰρ συμπεράσματος.

9,6. **Καὶ ἡ παροῦσα διάθεσις εὐαρεστικὴ πρὸς πᾶν τὸ παρὰ τὸ ἐκ τῆς αἰτίας συμβαῖνον.** Οὐκ ὀλίγα καὶ ἐνταῦθα ὑπὸ τῶν διορθωτῶν λέγονται. «Ἔμοιγε δοκεῖ ὧδε γραπτέον» καὶ ἡ παροῦσα διάθεσις εὐαρεστικὴ πρὸς πᾶν τὸ παρά τινος αἰτίας συμβαῖνον.

9,22. **. ὁ μὲν σαυτοῦ, ἵνα νοῦν δικαϊκὸν αὐτὸ ποιήσῃς . . . .** Καὶ ἐνταῦθα παρέσχε πράγματα τοῖς ἑρμηνευταῖς τὸ χωρίον, καὶ δή τινες θέλουσι τὸ δικαϊκὸν δικανικὸν γενέσθαι, ἄλλοι δὲ παρατηροῦσιν, ὅτι τοῦτο οὐκ ἔστι γενέσθαι, ἐπεὶ ἐν βιβλίῳ 5,34 ἀπαντᾷ ἡ αὐτὴ λέξις καὶ ἄλλοι τὸ νοῦν τρέπουσι εἰς γοῦν, ἡμεῖς δὲ γράφομεν «ἵνα νοῦν δικαϊκὸν αὐτῷ ἐμποιήσῃς.»

9,26. **Ποιοῦντι ταῦτα, οἷα κατεσκεύασται.** Ὁ Κοραῆς θέλει ἢ «ταῦτα εἰς ἃ, ἢ τοιαῦτα εἰς οἷα» τὸ χωρίον γραφῆναι. Ἡμεῖς κρίνομεν οὐχὶ ἀναγκαῖα τὰ τοιαῦτα, διότι ἐκ τῆς μετοχῆς ποιοῦντι ἐννοεῖται τὸ ἀπαρέμφατον ποιεῖν εἰς τὸ κατεσκεύασται, καὶ, κατ' ἀκολουθίαν τὸ οἷα καλῶς ἔχει, ἐπεὶ τὸ ἀντικείμενον τοῦ ἐννοουμένου ἀπαρεμφάτου ἐστί.

9,29. **Ἄνθρωπε, τίποτε; ποίησον, ὃ νῦν ἡ φύσις ἀπαιτεῖ, ὅρμησον, ἐὰν διδῶται.** Διάφοροι γνῶμαι ὑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΝΙΚΟΛΑΟΣ ΘΕΟΤΟΚΑΣ
Ε.Υ.Δ τ.ΙΣ-Κ-ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

πάρχουσι καὶ διορθώσεις τοῦ χωρίου, τὸ ἐπ' ἐμοὶ γραπτέον οὕτως: «Ἄνθρωπε, τίποτε (γίγνεται δηλονότι ὑπὸ σοῦ) ποίησον, ὃ νῦν ἡ φύσις ἀπαιτεῖ, ὅρμησον, ἕως ἂν διδῶται.»

9,35. **Καθ' ἣν πάντα καλῶς γίνεται, ἐξ αἰῶνος ἐγένετο.** Ἀναγκαῖος ὁ συνδετικὸς καί, «καὶ ἐξ αἰῶνος ἐγίνετο» ὡς καὶ Κοραῆς καὶ Duebner παραδέχονται.

9,35. **Τί οὖν λέγεις; ὅτι ἐγένετό τε πάντα καὶ πάντα ἀεὶ κακῶς ἔσται, καὶ οὐδεμία ἄρα δύναμις ἐν τοσούτοις θεοῖς ἐξευρέθη.** Γραπτέον τὸ κακῶς καὶ ἐν τοῖς ἀνωτέρω, διότι οὐκ ἔστιν ἐννοηθῆναι ἐκ τῶν κατωτέρω, καθὰ Κοραῆς καὶ Reiske «ὅτι ἐγίγνετο πάντα κακῶς καὶ πάντα ἀεὶ κακῶς ἔσται», ἀπαιτεῖται γὰρ ὑπὸ τῆς ἐννοίας.

9,36. **Καὶ τὸ πνευματικὸν δὲ ἄλλο τοιοῦτον...** Ἀντὶ πνευματικὸν γραπτέον πνευμάτιον, καθὰ καὶ ἐν βιβλίῳ 12,3. καὶ 11,20 ἀπαντᾷ.

9,41. **Πῶς ἡ διάνοια..ἀταρακτῇ.** Εἰς οριστικὴν τραπήτω τὸ «ἀταρακτῇ» κατὰ Κοραῆν, διότι τὸ πῶς τροπικόν ἐστιν ἐξαρτώμενον ἐκ τοῦ, «πρὸς αὐτῷ τούτῳ ὤν» (καταγιγνόμ.)

9,41. **Ἐν οἷς δήποτε τοῖς προσπίπτουσιν....** Ραδίως κατανοεῖ τις, ὅτι τὸ δήποτε ἀπαιτεῖ συσχετικὴν καὶ οὐχὶ ἀναφορικὴν ἀντωνυμίαν· ὅθεν γραφήτω «ἐν οἱοισδήποτε» ἰδὲ καὶ βιβλ. 12,27. «ἡ ὁποιαισοῦν τύχαις ἀκμάσαντας».

10,6. **Ὅτι μέρος εἰμὶ ὅλου τοῦ τοιούτου.** Γραπτέον, «ὅτι μέρος εἰμὶ τοῦ ὅλου,» καθὰ καὶ ἀνωτέρω. Κοραῆς γράφει «τοῦ ὅλου τούτου.

10,7. **Τῶν μερῶν εἰς ἀλλοτρίωσιν ὄντων.** Κάλλιον ἂν γραφείη, καθὰ καὶ Gataker καὶ Κοραῆς, εἰς ἀλλοίωσιν ἰόντων, ἐπεὶ ἀνωτέρω φησὶ «λεγέσθω δὲ τοῦτο σημαντικῶς τοῦ ἀλλοιοῦσθαι» ἰδὲ καὶ 4, 3. καὶ χάριν τῆς ἐννοίας.

10,8. **Ταχέως ἐπάνιε ἐπ' αὐτά....** Ἐπειδὴ ἡ προστακτικὴ σχηματίζεται εἰς ιθι, ὡς κατωτέρω ἄπιθι, ἔξιθι, καὶ ἐν βιβλίῳ 8,47. 12,36. 6,12. «ὧδε πολλάκις ἐπάνιθι» καὶ 6,11 γραπτέον ἐπάνιθι.

10,12. **Ἄριστον γὰρ κατατυγχάνειν τούτου, ἐπείτοι ἥγε ἀπόπτωσις ἀπὸ τούτου ἔστω.** Ἀκατανόητον τὸ χωρίον, ὅπως ἔχει· γραπτέον ἀντὶ τοῦ «ἔστω» κάκιστον, ἵνα ἔχωμεν τὸ ἀντίθετον τοῦ ἄριστον· ὁ νοῦς, ἡ μὲν ἐπιτυχία ἄριστον, ἡ δὲ ἀποτυχία κάκιστον.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

**10,34. Τῷ δεδηγμένῳ ὑπὸ τῶν ἀληθῶν δογμάτων.** Φρονῶ, καθὰ καὶ Κοραῆς, τῷ δὲ δεδιδαγμένῳ γέγραφε Μάρκος Ἀντων., διότι περὶ αὐτοῦ ὁ λόγος ἐστίν.

**10,35. Ὡς μύλην πρὸς πάντα, ὅσα ἀλήσουσα κατεσκεύασαν.** Ἐκ τοῦ ἀλήζω μόνον ὁ ἐνεστὼς παρὰ τοῖς δοκίμοις ἀπαντᾷ, ἀντ' αὐτοῦ εὕρηται καὶ παρὰ τοῖς μεταγενεστέροις τὸ ἀλέω. Ὅθεν γραπτέον ἐστίν, κατὰ Κοραῆν ἀλέσουσα. Μοῖρις Ἀλεῖς Ἀττικοί, ἀλέσεις Ἕλληνες.

**10,37. Οὔτοι τοῦτο ἐπί τινα φέρει ;** Ὅπως ἔχει, οὐκ εὐοδοῦται ἡ ἔννοια, διότι ἡ ἀνὰ ἀπεσπάσθη ἐκ τοῦ φέρει καὶ ἐγένετο τὸ ἐπί τινα· διὸ γραπτέον ὧδέ πως, «οὔτοι τοῦτο ἐπὶ τί ἀναφέρει ; »

**11,2. Ἐπὶ δὲ ὀρχήσεις τὸ ἀνάλογον ποιήσας.** Τινὲς διατείνονται, ὅτι γραπτέον ἐστὶν, «ποιήσῃς» καθ' ὑποτακτικὴν, ἀλλὰ τὸ τοιοῦτον οὐκ ἀναγκαῖον, διότι ἐνταῦθα ὁ ὑποθετικὸς λόγος ἐτράπη εἰς ὑποθετικὴν μετοχὴν «ἐπὶ δὲ ὀρχήσεως ἐὰν τὸ ἀνάλογον ποιήσῃς» ὅπερ οὐχὶ σπανίως τοῖς Ἀττικοῖς συμβαίνει.

**11,15. Ἐπὶ τοῦ μετώπου γεγράφθαι ὀφείλει εὐθὺς ἡ φωνή. Τοιοῦτον ἔχει, εὐθὺς ἐν τοῖς ὄμμασιν ἐξέχει, ὡς τῶν ἐραστῶν ἐν τῷ βλέμματι πάντα εὐθὺς γνωρίζει ὁ ἐρώμενος.** Τὸ χωρίον τῇ ἀληθείᾳ ἀσαφὲς ποιεῖ τὸ ῥῆμα ἐξέχει, καὶ τούτου ἕνεκα διὰ μεγάλης μεταβολῆς πειρᾶται ὁ Κοραῆς αὐτὸ διορθῶσαι· τὸ κατ' ἐμὲ συμφωνῶ μετὰ παντὸς, τοῦ θέλοντος ἓν μόνον ν προστεθῆναι καὶ τὸ ἐξέχει ἐξέχειν γενέσθαι, διότι αἴρεται ἡ ἐπὶ τοῦ χωρίου ἐπικειμένη ἀχλύς.

**11, ἔνατον. Καὶ δεικνύναι εὐαφῶς καὶ ὀλικῶς·** ἀντὶ τοῦ ὀλικῶς γραπτέον φιλικῶς, ὅ ἡ ἔννοια ἀπαιτεῖ.

**11, ἔνατον. Μηδὲ ἵνα ἄλλος παραστὰς θαυμάσῃ· ἀλλ' ἤτοι πρὸς μόνον, καὶ ἐὰν ἄλλοι τινὲς περιεστήκωσι . . .**

Καὶ ἐνταῦθα πράγματα παρέσχε τὸ χωρίον, καὶ δὴ λέγουσιν, ὅτι μετὰ τὸ περιεστήκωσιν ἐξέπεσεν ὁλόκληρος ῥῆσις, καὶ ὅτι ὁ καὶ δέον εἰς ἢ τραπῆναι, δηλονότι «ἀλλ' ἤτοι πρὸς μόνον, ἢ, ἐὰν ἄλλοι τινὲς περιεστήκωσιν . . . Τὸ ἐπ' ἐμοὶ ῥῆσις οὐκ ἐλλείπει καὶ τὸ χωρίον δεῖ ὡς ἑξῆς γραφῆναι : «Ἀλλ' ὄντως πρὸς μόνον καὶ ὅταν ἄλλοι τινὲς οὐ περιεστήκωσιν».

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Διὰ τῆς ἐπαναλήψεως τοῦ μόνος καὶ ὅταν ἄλλοι τινὲς οὐ περιεστήκωσι βούλεται σαφῶς ἑρμηνεῦσαι, πότε χρὴ τὰς παρατηρήσεις γίγνεσθαι : Ἐπεὶ πρὸ ἄλλων ἐρεθιστικόν.

12, 17. καὶ 18. **Ἡ γὰρ ὁρμή σου ἔστω,** καὶ ἔπειτα ἄρχεται ἄλλη παράγραφος ὧδέ πως. **Εἰς τὸ πᾶν ἀεὶ ὁρᾶν τί ἐστιν αὐτὸ ἐκεῖνο τὸ τὴν φαντασίαν σοι ποιοῦν.** Πολλαὶ γνῶμαι ὑπάρχουσι περὶ τῆς διορθώσεως τοῦ χωρίου αὐτοῦ καὶ δή τινες θέλουσι καί τινας λέξεις ἐκ τῆς κατωτέρω παραγράφου ἀποσπάσαι, οἱ μὲν πλείους οἱ δὲ ἐλάττους μετὰ ἢ ἄνευ μεταβολῆς τοῦ ἔστω, καὶ ἄλλοι τέλος θεωροῦσι τὸ ἔστω, ὅπερ ὁ Vatican (Α) κώδηξ οὐκ ἔχει, ἐξαλειπτέον εἶναι. Κατὰ τὴν ἐμὴν γνώμην, ὡς ἔχει ἡ διαίρεσις τῆς παραγράφου μέχρι τοῦ ἔστω συμπεριλαμβανομένου καλή ἐστι, καὶ μόνον τὸ ἔστω μεταβλητέον εἰς ἔσω. Ὁ νοῦς, εἰ μὴ καθήκει, μὴ πράξῃς, εἰ μὴ ἀληθές ἐστι, μὴ εἴπῃς καὶ δύνῃ τοῦτο ποιεῖν (μὴ εἰπεῖν), διότι ἡ ὁρμή σου ἔσω ἐστὶ καὶ δύνῃ κρατῆσαι αὐτὴν καὶ μόνη (ἄνευ τῆς θελήσεώς σου) οὐ δύναται ἐξελθεῖν καὶ πρᾶξαί τι· ἰδὲ καὶ 8, 28. Οὕτως ἦν γεγραμμένον ἔσω καὶ εἶτα ῥαδίως ἐγένετο ἔστω.

12, 19. **Τί μου. νῦν ἐστιν ἡ διάνοια.** . Reiske γράφει «τί μοι νῦν ἐστιν ἐν τῇ διανοίᾳ·» ἡμεῖς δὲ «τί νῦν ἐστιν ἐν τῇ ἐμῇ διανοίᾳ ;» ἐπεί, ἐὰν ἀφῶμεν αὐτὸ, ὡς ἔχει, σημαίνει τι (πρᾶγμα ἄγνωστον) ἐστιν ἡ διάνοια, ἐν ᾧ ἡμεῖς γνωρίζομεν ὅτι ἡ διάνοια ἀεὶ διάνοιά ἐστιν.

12, 24. **Καὶ εἰς οἷα ἡ λύσις** Ἀντὶ τῆς λέξεως λύσις γραπτέον διάλυσις, καθὰ καὶ ἐν τοῖς 12, 35. 2, 17. 2, 12. 3, 11. 4, 21. 7, 23. 7, 48. 7, 50. 9, 32. 10, 7, καὶ ἀλλαχοῦ.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006